[4.] Ἄργειοι πολιοῦχον αὐτοῖς τὴν Ἥραν ἡγοῦντο· καὶ διὰ τοῦτο καὶ πανήγυριν αὐτῇ τεταγμένην ἄγουσιν· ὁ δὲ πρόπομπος τῆς ἑορτῆς, ἅμαξα βοῶν, τὸ χρῶμα λευκῶν. ἀπὸ δὲ τῆς ἁμάξης εἶναι δεῖ ἱέρειαν. οὕτω δὲ ἔχειν ἄρχει τοῦ νεοῦ. τὸ δὲ ἱερὸν, ἔξω τοῦ ἄστεος. ἦκεν οὖν ποτε ὁ χρόνος φέρων τὴν ἑορτήν. ὁ δὲ νόμος, ἀπὸ τῶν βοῶν οὐκ ὄντων, ἐχώλευεν. ἀλλ' ἐσοφίσατο τὴν ἀπορίαν ἡ ἱέρεια, μήτηρ οὖσα νεανίσκων, ἀντὶ βοῶν τῷ ἅρματι γενομένων. ἐπεὶ τοίνυν τὸ ἔργον τῶν βοῶν, περὶ τῶν παίδων ἐγένετο,

Junonem Deam sibi tutelarem existimant Argivi, atque ea propter festum in honorem ejus institutum celebrant; cujus apparatus erant juncti boves, corpore albi. Eo in curru considere oportebat sacerdotem, & sic ad campum usque provehi: erat enim templum extra urbem. Advenit ergo quondam tempus celebrandi festi, quo bobus non præsentibus mos claudicaret; sed animadvertit penuriam sacerdos, mater adolescentum, bovis tum munia exsequentium. Postquam igitur, quod à bobus fieri debuerat, à filiis esset peractum;

[4.] Hæc apud Herod in 1. c. 31. & apud Ciceronem lib. 2. Q. Tusc. occurrunt, non minori elegantiâ.

πᾶσα

ξᾶσα κατὰ τὸ ἄγαλμα, μισθὸν ἀπήτει τῷ πόνῳ. καὶ ἔδωκε, φασὶν, ἡ θεός· ὕπνος ἦν ὁ αὐτὸς, καὶ τοῦ βίου πέρας γλυκύτατος.

consistens ad statuam, pretium laboris poposcit; idque à Dea ferunt persolutum, somnum scilicet, & vitæ finem.

Τέλος, τοῦ περὶ ἀπίστων Ἱερῶν Παλαιφάτου, χρησίμου συντάγματος.

Finis utilis Commentarii Palæphati de Incredibilibus Historiis.

PALÆPHATI FRAGMENTA DUO

Ex Faſtis Siculis, ſive Chronico Alexandrino.

ΤΟΥ ΠΑΛΑΙΦΑΤΟΥ ΠΕΡΙ ΕΦΕΥΡΗΣΕΩΣ ΚΟΓΧΥΛΗΣ.

Ex Chronico Alexandrino.

PALÆPHATI DE INVENTIONE PURPURÆ.

Interprete MAT. RADERO.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τῶ Φοίνικος ἦν Ἡρακλῆς, ὁ φιλόσοφος, ὁ λεγόμενος Τύριος

Empore autem Phœnicis fuit Tyri Hercules Philoſophus, cognomento Tyrius

Τύριος, ὅστις ἐφεῦρε τὴν κογχύλιον. [1.] ἐσαίζομενος δὲ ὅτι τὸ παράλιον μέρος τῆς Τύρου πόλεως, ἴδε ποιμενικὸν κύνα ἐσθίοντα τὴν λεγομένην κογχύλιον, ὅθεν δὴ μικρὸν εἶδος θαλάσσιον κοχλιῶδες, καὶ ποιμένα νομίζοντα αἱμάσσειν τὸν κύνα λαβόντα ἀπὸ στόματος πόκον ἔρεας, καὶ καταμάσσοντα τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς, καὶ βάπτοντα τὸν πόκον. ὁ δὲ Ἡρακλῆς σφοδρότερον μὴ εἶναι αὐτὸ αἷμα, ἀλλὰ βάμματος ἄλλου ξένου ἀρετὴν, ἐθαύμασεν. καὶ γνοὺς, ὅτι ἐκ τῆς κογχύλης δὴ τὸ βάμμα τοῦ πόκου, εἰλικρινῶς ἐκ τοῦ ποιμένος τὸν πόκον, ὡς μέγα δῶρον, τὸν στρατηγὸν τῷ βασιλεῖ τῆς Τύρου Φοίνικι. καὶ ἐκπλαγεὶς καὶ αὐτὸς ὅτι τῇ θέᾳ τῆς ξένης χρόας τοῦ βάμματος, θαυμάζων τὴν αὐτοῦ ἀρετὴν, ἐκέλευσεν ἐξ αὐτοῦ τοῦ βάμματος τῆς κογχύλης βαφῆναι ἐρέαν, καὶ χλανίδα αὐτῷ στρατιώτικὸν βασιλικὸν, καὶ ἐφόρεσεν αὐτὸς πρῶτος στρατιώτικὸν ἐκ πορφύρας. καὶ πάντες ἐθαύμασαν τὴν βασιλικὴν ἐσθῆτα, ὡς ξένην θέαν. καὶ ἐξ ἐκείνου ἐκέλευσεν ὁ βασιλεὺς Φοίνιξ, μηδένα ἄλλον τῶν αὐτοῦ βασιλείαν ὄντα πολεμεῖν τὴν αὐτὴν ἐνάρετον ἐκ γῆς καὶ θαλάσσης ἔσαν φορεσίαν, εἰμήτι αὐτὸν, καὶ τοὺς μετ' αὐτὸν βασιλεύοντας τῆς Φοινίκης, διὰ τὸ γινώσκεσθαι τὸν βασιλέα τῷ στρατῷ *, καὶ πάντι τῷ πλήθει ἐκ τῆς θαυμασίης καὶ ξένης φορεσίας.

Tyrius, qui purpuram invenit. Nam in littore Tyrio obambulans, paſtorium vidit canem, qui oſtreum (quod conchylis dicitur, parvúmque genus eſt teſtudinis marinæ) mandebat, & paſtorem, qui, quòd canem putaret ſanguinare, lanæ vellere ab ove rapto exterſit quod ab ore canis profluebat, vellúſque tinxit. Hercules verò cùm obſervâſſet id non eſſe ſanguinem, ſed peregrini alicujus vim liquoris; iliceet obſtupuit, & cùm ex conchyli ſuccum illum velleris expreſſum ſciret, acceptâ à paſtore lanâ, illam Phœnici, regi Tyriorum, magni loco muneris detulit; qui & ipſe attonitus novi & inuſitati coloris adſpectu, ejúſque inventione, juſſit vellus liquore purpuræ, ſeu conchylis imbui, ſibíque regiam indè veſtem fieri, primúſque ipſe purpuratam chlamydem geſtavit, quam veſtem regiam, velut peregrinum quid, & inuſitatum ſpectaculum, omnes obſtupuêre. Rex deinde Phœnix mox edicto cavit, nè quiſquam ex ſibi ſubjectis cultum è terræ maríſque theſauro collatum affectaret, præter ipſum regem, & regis ſucceſſores: atque hoc, uti reges à populo, atque exercitu, ex novo hoc & admirando geſtamine noſcerentur.

[1.] al. αἰωρούμενος. ſed legendum μεταιζόμενος negligenter prodeambulans. μεταιζόμενος πρόσω. Al. Aphrod. * V. ad Hom. Il. Θ. v. 221.

πρώτω γὰρ ἐκ ἐγίνωσκον οἱ ἄνθρωποι βάπτειν χρὼς ἱματίων, ἀλλὰ τὰς ἀπὸ προβάτων ἐρέας, οἵαι ἦσαν, ἐποίουν ἱμάτια, καὶ ἐφόρουν. καὶ ἐκ εὐχερῶς ἐγνωρίζοντο τῷ ἄπικόῳ πλήθει οἱ βασιλεῖς. λοιπὸν, ὁ κατὰ τὸν τόπον βασιλεῖς, εἴτοι ῥῆγες, καὶ τοπάρχαι ἀκκοότες τότῳ· οἱ μὲν περιβόλαια, οἱ δὲ φίβλας, καὶ μαντεῖα ἐπεγόνασιν ἑαυτοῖς πορφυρᾶια, ἢ ῥάσσαια βάπτοντες τὰ ἀπὸ βοτανῶν καὶ ἐφόρουν διὰ τὸ γινώσκεσθαι τῷ ἰδίῳ πλήθει, καθὼς Παλαίφατος ὁ σοφώτατος ἐξέθετο. †

Nam prius haud nôrant mortales vestium colores, sed ex ovium vellere, quale quale illud erat, vestes conficiebant, & gestabant, neque facile principes à populo secernebantur. Cæterùm alii passim imperatores, regésque, & dynastæ, haud obsequentes erant huic legi. Nam alii indumenta, alii fibulas aureas, & idola sibi purpurea, aut russea, ex herbarum succis expresso colore, sibi comparabant, ferebántque, uti populo perspicui essent; quemadmodum sapientissimus prodidit Palæphatus.

† De Purpurâ & ejus inventione vix habeo quod addam post insignem diligentiam *Blaise de Vigenere* in Philostratum. p. 241. v. etiam Salmuthum in Pancirollum, & Jul. Pollucem. lib. 1. Dictiones istæ ῥῆγες, φίβλας, μαντεῖα, ῥάσσαια sunt Chronographi; qui totam hanc & sequentem narrationem suis verbis proposuit. —— Nonnus *Dionys.*

Καὶ Τυρίη σκοπιάζε δεδεγμένα φάρεα κόχλῳ,
Πορφυρίδας ἀπινθῆρας ἀκοντίζοντα θαλάσσης.
Ἦχι κύων ἁλιεργὸς ἐπ' αἰγιαλοῖσιν ἑρέπτων
Ἐνδόμυχον χαροπῇσι γλυφίδεσι θέσκελον ἰχθύν,
Χιονέας πόρφυρε παρηΐδας, αἵματι κόχλου
Χείλεα φοινίξας διερῷ πυρί· τῷ ποτὲ μέντοι
Φαιδρὸν ἁλιχλαίνων ἐρυθαίνετο φᾶρος ἀνάκτων.

Adriani nummus apud Seguinum videri possit. ——

ΠΕΡΙ

ΠΕΡΙ ΣΙΔΗΡΟΥ, ΤΙΣ ΠΡΩΤΟΣ ΕΦΕΥΡΕΝ.

Ex eodem Chronico.

DE PRIMO FERRI INVENTORE.

Interprete MAT. RADERO.

* Ὁ αὐτὸς Ἥφαιστος ἀπὸ μυστικῆς πνοὸς εὐχῆς τὴν ὀξυλάβειαν ἐδέξατο ἐκ τοῦ ἀέρος, εἰς τὸ κατασκευάζειν ἐκ σιδήρου ὅπλα. ὅθεν καὶ ἐπικρατὴς σιδήρου εὑρέθη εἰς τοὺς πολέμους. ἀπεθέωσαν δὲ αὐτὸν ὡς σωφροσύνην νομοθετήσαντα· καὶ τροφὴν ἀνθρώποις διὰ κατασκευῆς ὅπλων δείξαντα, καὶ ἐν τοῖς πολέμοις δύναμιν καὶ σωτηρίαν ποιήσαντα. πρὸ γὰρ αὐτοῦ ῥοπάλοις καὶ λίθοις ἐπολέμουν. μετὰ

IDem Vulcanus divino quodam carmine, seu precatione, opifex ingenium, & fabrile è cœlo, uti è ferro arma fabricare posset, impetravit. Unde & ferri domitor ad usum belli inventórque est habitus. Consecratus ergo inter Divos ob continentiæ legem, & quod mortalibus per armorum fabricationem victûs parandi rationem ostenderit, virtutémque bellicam, & salutem comparavit. Ante illum quippe clavis tantùm, & saxis, pugnabant.

* Αἰγύπτιοι μὲν [λέγουσι] Νείλου γενέσθαι παῖδα Ἥφαιστον· ὃν ἀρχὴν φιλοσοφίας. Diog. Laert. Secundus Nilo natus Vulcanus, Opas, ut Ægyptii appellant. Cicero. 3. de N. Deorum. f. Tubal-Cain.

Huc omnino faciunt quæ Suidas in Ἥφαιστος habet, ubi pro ὀξυλάβειαν Wolphius & Portus ὀξυδέρκειαν malunt. Betulæus ad Ciceronem 3°. de Nat. Deor. vertit, sub Mysticas precationes subito ab aëre corripiebatur; Schol. ad Hom. ιλ. Σ. v. 477. legit τὸν ὀξύλαβον; mallem tamen nostram retinere lectionem. Portus ibidem pro ἀέρος legisse videtur Ἄρεος ——— Cæterùm qui Ciceroni Opas dicitur, fortè est Jamblicho in Mysteriis φθᾶ—οἱ Ἕλληνες, inquit, εἰς Ἥφαιστον μεταλαμβάνουσι τὸν φθᾶ, τῷ τεχνικῷ μόνον προσβάλλοντες. idem Suidæ videtur esse Ἀφθὰς, unde fortè Gr. Ἥφαιστος.

[1.] Qui est Græcis Ἥφαιστος, Ægyptiis est Ἀμῆν. teste Plutarcho & Proclo; Jamblichus in *Myst.* ὁ δημιουργικὸς νοῦς, ὁ τῆς ἀληθείας προστάτης καὶ σοφίας, ἀρχόμενος ὅπου γένοιτο, καὶ τὴν ἀφανῆ τῶν κεκρυμμένων λόγων δύναμιν εἰς φῶς ἄγων, Ἀμῶν κατὰ τοὺς Αἰγυπτίους καλούσαις λέγεται.

Ὃ

ὃ τελευτὴν [1.] Ἡφαίστ, ἐβασίλευσεν Αἰγυπτίων ὁ υἱὸς αὐτῦ, ὀνόματι [2.] Ἥλιος, ἡμέρας δυοζ', ὡς εἶναι ἔτη ιϛ', μῆνας γ', ἡμέρας δ'. ἃ γὰρ εἴδησαν οἱ Αἰγύπτιοι τότε ἢ ἄλλον τινὰ ἀριθμὸν ἐν τῷ ψηφίζειν, ἀλλὰ τὰς περιόδους τῦ ἡμερῶν εἰς ἔτη ἐψήφιζον. οἱ γὰρ τῦ ιϛ' μηνῶν ἀριθμοὶ, μὴ ταῦτα ἐπενοήθησαν, ἐξότε ἐνομίσθη ὑποτελεῖς εἶναι τὰς ἀνθρώπους τοῖς βασιλεῦσιν. ὁ ὃ αὐτὸς Ἥλιος βασιλεύς, [3.] ὁ υἱὸς τῦ Ἡφαίστ, ὃν φιλόσοφος δοκιματὸς, ὅστις ἐδιδάχθη παρά τινος, ὡς γυνή τις Αἰγυπτία, τῆς ἐν ὑπο- εία καὶ [4.] ἐξιασῶν παρ' αὐτοῖς, ἐρῶσά τινος ἐμοιχεύετο ὑπ' αὐτῦ. καὶ ἀκούσας ὁ Ἥλιος, ἐζήτησεν αὐτὴν πάσαι διὰ τὴν τῦ πατρὸς αὐτῦ Ἡφαίστ νομοθεσίαν, ἵνα μὴ λυθῇ. καὶ λαβὼν στρατιώτας ἐκ τῦ ἰδίου στρατῦ, μαθὼν τὸν καιρὸν τῆς μοιχείας αὐτῆς, ὅπ γίνεται ἔμελλεν νυκτὸς, ὅπερ εἰσῆλθε αὐτῇ τῦ ἀνδρὸς αὐτῆς μὴ ὄντος αὐτόθι, εὗρεν αὐτὴν μετ' ἄλλου κοιμωμένην τῦ ἐρωμένου παρ' αὐτῆς. ἵνα δὲ εὐθέως καταγαγὼν ἐπόμπευσεν ἐν πάσῃ τῇ χώρᾳ τῆς Αἰγύπτου τιμωρησάμενος αὐτήν. καὶ γέγονε σωφροσύνη μεγάλη ἐν τῇ γῇ τῆς Αἰγύπτου. κἀκεῖνον ὃ τὸν μοιχὸν ἀνεῖλεν, καὶ ἠυχα-

Mortuo Vulcano regnum suscepit Ægyptiorum Sol Vulcani filius, illúdque rexit dies septem & septuaginta supra quater millenos quadringenos; qui annos conficiunt XII, menses III, dies IV. Nam Ægyptii aliam putandi tum temporis rationem ignorabant, annum enim unius diei orbita definiebant. Duodenum verò mensium numerum tum demum descripserunt, cùm vulgò mortales regibus vectigales haberi cœperunt. Sol autem Vulcani filius, rex, eximius erat Philosophus, qui monitus à quodam, fœminam esse Ægyptiam, copiis & opibus florentem, quæ amet quempiam, quîcum adulterii consuetudinem habeat. Quod Sol cùm intellexisset, pœnam ab ea studuit exigere, propter legem à patre latam, nè antiquaretur. Delectis ergo militibus ex omnibus copiis suis, cùm tempus, quo per noctem committi adulterium solebat, explorâsset; absente viro in ædes irrupit, illámque cum amasio cubantem offendit, detractam per totam duci Ægyptum jussit, gravitérque in illam animadvertit; unde in Ægypto cæteri castè vivere didicere, mœcho etiam morte mulctato. quâ re magnam ab Ægyptiis gratiam iniit:

[2.] Ægyptiis Ὧρος. Plutar. de Isde. Est autem Ὧρος Apollo. V. Allatium Mens. Tem cap. 9. & 13. Diodor. Sic. lib. 1. Herod. 2o.

[3.] Tertius Sol Vulcano natus, Nili filio, cujus urbem Ægyptii esse volunt eam quæ Heliopolis appellatur. Cicero 3. de N. Deorum.

[4.] τῆς ἐν ὑποψίᾳ καὶ ἐξουσίᾳ παρ. sic conjicio legendum, vel ἀξίᾳ ὄσων——

περὶ ἧς ἱστορεῖ ποιητικῶς[5.] Ὅμηρος ὁ ποιητής. ὡς ὁ ἥλιος, φησὶν, ἤλεγξεν τὴν Ἀφροδίτην συμμιγνυμένην νυκτὸς Ἄρει. Ἀφροδίτην δὲ ἐκάλεσεν τὴν ἐπιθυμίαν τῆς πορνείας τὸ ἡλίκ βασιλέως ἐλεγχθεῖσαν. τὸ δὲ ἀληθὲς, ὡς προγέγραπται, Παλαίφατος ὁ σοφώτατος συνεγράψατο.

de quo Homerus poëta poëtico more narrat, quasi diceret, Venerem à Sole cum Marte noctu cubantem fuisse proditam. Venerem verò peccandi libidinem, seu desiderium voluptatum à Sole reprehensum, appellavit. Rem autem, uti exposita est, sapientissimus ille Palæphatus literis consignavit.

[5.] Odyss. Θ, ubi Eustath. Vide etiam Plutar. l. de Aud. Poet. Confer Hygin. fab. 148. Fulgentium. l. 20. Videntur hæc servata nobis ex iis, quæ Palæphatus scripsit de Philosophiâ aut historiâ Ægyptiâ. Verba autem ipsius Palæphati, de priori parte hujus historiæ, puto Suidam nobis repræsentâsse in ἥφαιστος.

ΤΕΛΟΣ. FINIS.

ΗΡΑ-

ΗΡΑΚΛΕΙΤΟΥ
ΠΕΡΙ ΑΠΙΣΤΩΝ
HERACLITI,
De Incredibilibus.
Leone Allatio Interprete.

ΠΕΡΙ ΜΕΔΟΥΣΗΣ ά.
DE MEDUSA 1.

Φασὶ ταύτην ἀπολιθοῦν τοὺς θεασαμένους αὐτήν, καὶ Περσέως ἀποτεμόντος αὐτῆς τὴν κεφαλὴν, ἐξελθεῖν ἵππον πτερωτόν. ἔχει δὲ ὅτως. αὕτη ἑταίρα καλὴ ἐγένετο, ὡς τὸν ἰδόντα αὐτὴν ἔκπληκτον γενέσθαι, οἷον ἀπολιθοῦσθαι. λέγομεν δὲ καὶ ἡμεῖς, ἰδὼν αὐτὴν ἀπολιθωθῆναι. παραγενομένου δὲ Περσέως ἐν ἔρωτι γενομένου, τά, τε ὑπάρχοντα κατέφαγε, καὶ τὴν ἑαυτῆς ἡλικίαν κατέ-

HAnc tradunt visam homines in saxa convertere; ei Perseum eripuisse caput collo, indéque pennatum Pegasum exiliisse. Res verò ità se habet. Medusa bella meretrix fuit, adeò, ut quicunque aspiceret, quasi in silicem versus stuperet. Nósque simili fandi modo dicimus, Videns eam in saxum induruit. Sed adventu Persei amore exardens, rem familiarem absumpsit, & ætatem perdidit.

φθείρεν ἀπολέσασα ὃ τ' ἡλικίαν, ᾗ τὰ ὑπάρχοντα, ἵππειον γῆρας ἐγήρασεν. ἡ γὰρ κεφαλὴ τὸ τῆς ἡλικίας ἄνθος ἐστὶν, ὃ ἀφήλετο αὐτῆς ὁ Περσεύς.

Qua amissa, fortunis ipsa spoliata equi senium induit. Caput enim, ætatis florem, quem Perseus decerpsit, innuit.

ΠΕΡΙ ΣΚΥΛΛΗΣ β'.

DE SCYLLA 2.

ΛΕγεται δὲ ταύτης, ὅτι καταῤῥαγέντας τοὺς παραπλέοντας. ἦν δὲ αὕτη νησιώτης καλὴ ἑταίρα, καὶ εἶχε παρασίτους, λοιμούς τε καὶ κυνώδεις, μεθ' ὧν τοὺς ξένους κατήσθιεν. ἐν οἷς καὶ τοὺς Ὀδυσσέως ἑταίρους, αὐτὸν δὲ ὡς φέρνιμον οὐκ ἠδυνήθη.

EAm narrant prætervenientes exedere. Sed fuit scortum non inelegans insulare; habebátque penes se voraces, ac impudentis oris parasitos, cum quibus peregrinos devorabat, inter quos, & Ulyssis comites exhausit. Ulyssi verò, veluti cato, non nocuit.

ΠΕΡΙ ΚΑΙΝΕΩΣ γ'.

DE CÆNEO 3.

ΛΕγεται τοῦτον πρότερον γυναῖκα γεγονέναι εἶτα ὑπὸ Ποσειδῶνος φιλέως ἄνδρα ἄτρωτον χαλκῷ καὶ σιδήρῳ. ἔστος δὲ ὢν νέος ἐρώμενος ἐγένετο τοῦ Ποσειδῶνος. ἀνδρωθεὶς δὲ μέγας καὶ ψυχὴν ἐγένετο, ὥστε ἀδεὴς καταπονηθῆναι δυνάμενος.

ANtea, ut fertur, fœmina fuit, indè Neptuni beneficio in virum mutata est, ære, ferróque invulnerabilis. Verùm hic juvenili ætate Neptuno placuit, provectâ jam deinde, ac virili grandis animo, satìs roboris habuit, adeò ut omnibus insuperabilis esset,

ἔτε δώρεις ἐξαλασθῶαι χαλκῶ καὶ σιδήρω. ὅπω γὸ χρυσὸς ἢ ἄργυρος ἔρπαι.

neque æris, & ferri muneribus flecteretur. Tunc enim neque aurum, neque argentum erat in usu.

ΠΕΡΙ Ἄ ΑΤΛΑΝΤΟΣ δ'.

DE ATLANTE 4.

Οὗτος φέρεσθαι φέρων τὸν Οὐρανὸν ἐπὶ τῶν ὤμων, ὃ ἀδύνατον ὑπὸ οὐρανὸν ἢ αὐτὸν ὄντα. ἀνὴρ δὲ σοφὸς ὢν, τὰ τ' ἀστρολογίαν πρῶτος κατώπτευσε. προλέγων ὑὸ χειμῶνας, ἢ μεταβολὰς ἄστρων, ἢ δύσεις, ἐμυθεύθη φέρειν ἐν αὐτῷ τὸν κόσμον.

TRadunt humeris Cœlum sustinuisse, quod fieri nequit, subest enim & ipse Cœlo. Sed cùm sapientiâ excelleret, primus omnium Cœli rationem deprehendit: & cùm tempestates, ac siderum mutationes, occasúsque prædiceret, in fabulis relatum est, eum Orbem gestare.

ΠΕΡΙ ΚΕΝΤΑΥΡΩΝ έ.

DE CENTAURIS 5.

Λέγεται πρὸς τὸ Πήλιον, ἢ τὴν Φολόην γενέσθαι διφυεῖς, τὰ μὲν ἐπάνω τῶν λαγόνων ἀνδρῶν ἔχοντας, τὸ δ' ἄλλο τῶν μέρος πᾶν ἵππων. ὐκ ἀληθὲς ὑ τοῦτο. δύο γὸ διηλλαγμένας φύσεις εἰς ἓν συνελθόσας, ἀδύνατον ζωογονηθῆναι ἢ τραφῆναι. ἀλλ' ἔτι

FAma est in Pelio monte, ac Pholoë habitantes biformes fuisse, supra latera homines, reliqua sui parte equos; falsò omnino: Naturæ siquidem diversæ, si in unum coalescant, fieri nequit, ut vivant, aut alantur. Sed cùm tunc

τῆς γὰρ ἵππων χρήσεως ὅσης ἀγνώσε, πρῶτοι καθίσαντες ἐφ' ἵππων, κατέτρεχον τὰ πεδία λησδόντες, φαντασίαν τε ἀπετέλεσαν τοῖς πρώτως θεασαμένοις μακρόθεν, ὡς ἓν δυοῖν εἰσὶ γεγονότες φύσεων.

temporis equorum usus nullus esset, ipsi primi equos ascendentes, séque per campos prædabundos dantes, illis, qui primùm eos eminus conspexerant, duplici se forma repræsentârunt.

ΠΕΡΙ ΠΑΣΙΦΑΗΣ ς'.

DE PASIPHAE 6.

Τοῦτο φασὶν ἐφθάρθαι Ταύρου, οὐχ ὡς πολλοὶ νομίζουσι τοῦ κατὰ τὴν ἀγέλαν ζώου, γελοῖον γὰρ ἀκοινωνήτου συνουσίας ὀρέχθαι τὴν βασίλισσαν, ἑνὸς δέ τινος τῆς ἐντοπίων, ᾧ Ταῦρος ἦν ὄνομα. συνεργῷ δὲ χρησαμένη πρὸς τὴν ἐπιθυμίαν Δαιδάλῳ, τῇ γεγονυίᾳ ἔγγυος ἐγέννησε καθ' ὁμοιότητα τοῦ Ταύρου, ὃν οἱ πολλοὶ Μίνῳ μὲν ἐπάλουν, Ταύρῳ δὲ εἴπαζον, κατὰ δὲ σύνθεσιν Μινώταυρος ἐπλήθη.

ILla Taurum deperisse dicitur; non eum, ut multi somniant, qui inter armenta pascitur; ridiculum enim est Reginam coitûs, ab omni consortio alieni in desiderium veniisse; sed indigenam nescio quem, cui Tauro nomen erat. Ope autem Dædali exaturata libidine, gravida facta, similem Tauro enixa est: Illum multitudo Minoa quidem vocabant, sed Tauro propter similitudinem vindicabant. Hinc, composito nomine Minotaurus dictus est.

ΠΕΡΙ'

ΠΕΡΙ ΤΕΙΡΕΣΙΟΥ ζ.

DE TIRESIA 7.

Οὗτος μεταχεῖν λέγεται τῆς γυναικείας καὶ ἀνδρείας φύσεως κατὰ τὴν αὐτὴν ἑκάτερον, ἣν ἐπὶ Καινέως ἐγράψαμεν.

HIc muliebrem, virilémque ſexum communicâſſe fertur, non aliâ ac Cæneus ratione, ut ſuprà ſcripſimus.

ΠΕΡΙ ἈΡΠΥΙΩΝ η.

DE HARPYIS 8.

ΤΑύτας ὁ μὲν πεφοιτέναι γυναῖκας ὑποπτέρους τὸ τοῦ Φινέως δεῖπνον ἁρπαζούσας. ὑπολάβοι δ' ἄν τις ταύτας ἑταίρας καταφαγούσας τὴν τοῦ Φινέως οἰκίαν εἶδ, καὶ καταλιπούσας αὐτὸν, καὶ τῆς ἀναγκαίας τροφῆς ἐνδεῆ, κεχωρικέναι ἀπ' αὐτοῦ. ἀεὶ δ', ὅσα ἂν κτήσαιτο, παραγινομένας ἐσθίειν, καὶ αὖθις χωρίζεσθαι, ὃ συνηθὲς ποιεῖν ταῖς ἑταίραις.

FAbulæ narrant, has mulieres alatas Phinei cœnam diripere. Non abs re tamen exiſtimabimus meretrices fuiſſe, & omnem Phinei ſupellectilem conſumpſiſſe, sícque eum victui neceſſariis ſpoliatum, neglexiſſe, ſeceſſiſſéque; ſemper tamen recèns comparata à Phineo ſuo acceſſu devorâſſe, deinde abiiſſe: quod meretricibus ſolemne eſt.

ΠΕΡΙ ΠΕΡΣΕΩΣ θ.

DE PERSEO 9.

Τούτῳ ἱσορεῖται, τὸν Ἑρμῆν πέδιλα πτερωτὰ δεδωκέναι. Ἑρμῆς γὰρ τὴν πρὸς δρόμον γυμνασίαν ἐπενόησεν, ἐν ᾗ εὐδόκιμος ἦν ὁ Περσεύς. οἱ γὰρ θεώμενοι τὸ τάχος θαυμάζοντες, περὶ εἶπον ὡρεσθεῖσι τοῖς ποσὶν αὐτοῦ, καθὼς εἰώθαμεν λέγειν ὅτι τῷ ταχέως τρεχόντων, ὅτι ἔπτη.

PErseo, ut fertur, Mercurius pennatos calceos dedit. Mercurius enim exercitandi se modum per cursum, excogitavit, in quo celebris erat Perseus. Spectatores itaque velocitatem admirantes, pedibus illius alas annexas enunciabant: nos etiam dicere solemus eos, quibus pernicitas pedum ineſt, avolare.

ΠΕΡΙ ΓΛΑΥΚΟΥ ΤΟΥ ΘΑΛΑΣΣΙΟΥ ι.

DE GLAUCO MARINO 10.

Οὗτος θαλάσσιος ἀναφέρεται μάντις. νῆσον γὰρ οἰκῶν, ἀεὶ τοῖς παραπλέουσιν ἐσήμαινεν, ὡς δεῖ ποιεῖσθαι τὸν πλοῦν, προλέγων τὰ συμβησόμενα.

HIc vates marinus circumfertur fuiſſe; cùm enim inſulam habitaret, ſemper præternavigantibus modum navigationis expromebat, prædicebátque futura.

ΠΕΡΙ ΚΥΚΛΩΠΟΣ ια.

DE CYCLOPE 11.

Τοδτον ἄντις ὑπολάβοι διαπώμενον ἐπ' ἐρημία, νόμων ἄπειρον εἶ), πεποιθέναι ὃ τῇ βία, μίαν ἄισθησιν ἔχοντα τὴν ἀπὸ τῆς ὁράσεως, λογισμῷ ὃ μηδὲν προβλέποντα. ὃν ὁ σοφὸς Ὀδυσσεὺς κατεπόνησεν.

EXistimare possumus hunc desertarum solitudinum accolam, leges penitùs nescisse, & uno sensu, qui beneficio visus fit, sed nullâ ratione, cuncta dimetientem, viribus, ac violentiæ fisum fuisse. Illum, rerum experientia illustris, Ulysses superavit.

ΠΕΡΙ ΑΤΑΛΑΝΤΗΣ ΤΗΣ ΣΧΟΙΝΕΩΣ, ΚΑΙ ΙΠΠΟΜΕΝΟΥΣ ιβ'.

DE SCHOENEIA ATALANTA, ET HIPPOMENE 12.

Φασὶ τούτους ἀπολεοντοθῆναι ἐν τῷ ὄρει, τῆς πρὸ αὐτοῦ πολιήφεως τοιαύτης ὔσης. μεσημβρίας ὔσης εἰσῆλθον εἴς τι σπήλαιον, γενέσθαι θέλοντες μετ' ἀλλήλων, κατὰ τύχην δὲ λέοντες ὄντες ἐν τῷ σπηλαίῳ κατέφαγον αὐτούς. ὕστερον δὲ τῶν θηρίων ἐξελθόντων, ἐκείνων δὲ μὴ φανομένων, μεταμορφωθῆναι ἀπέλαβον αὐτοὺς οἱ προσεδρεύοντες.

HOs in montibus in Leones transformatos dicunt. Datus fabulæ locus. Nam sub meridiem Antrum ingressos, ut simul unà concumberent, Leones, ità casu ferente, qui in spelunca erant, devorarunt. Tandem egressis belluis, cum illi nusquam apparerent, eos in Leones versos, qui custodiæ incumbebant, existimarunt.

Γ ΕΡΙ Γ ΦΟΡΚΙ Γ ΔΩΝ ιγ΄.

DE PHORCIDIS 13.

Ταύτας ὑρίσαντα μιᾷ ὄφθαλμῳ χρῆσθαι, ἀεὶ πρὸς τὴν χρείαν μεταλαμβανούσας παρὰ τῆς ἐχούσης. εἰκὸς δὲ ὅτι τρεῖς γυναῖκας τυφλωθείσας ὁδηγῷ ἑνὶ χρῆσθαι πρὸς τὴν πορείαν. ὀνόματα ὧν αὐτῶν Πεφρηδὼ, Ἐννυὼ, Περσώ. ἐφύλαττον ὧν τὰ χρυσᾶ μῆλα.

EAs narrant unius sortitas luminis usum, sibíque invicem pro opportunitate rei, utendum tradidisse. Vero tamen simile est, tres mulieres, oculis amissis, uno, qui eas regeret, usas fuisse ductore. Earum nomina Pephredo, Ennyo, Perso. & custodiebant mala aurea.

Π ΕΡΙ Σ ΕΙΡΗ Ν ΩΝ ιδ΄.

DE SIRENIBUS 14.

Ταύτας διφυεῖς μυθολογοῦσι, τὰ μὲν σκέλη ὀρνίθων, τὸ δὲ σῶμα γυναικῶν ἐχούσας. ἀπώλλυον δὲ τοὺς παριόντας. ἦσαν γὰρ ἑταῖραι εὐπρεπεῖς, τῇ τε δι' ὀργάνων μίσῃ, καὶ γλυκυφωνίᾳ κάλλιστα, οἷς οἱ παρεπερχόμενοι κατηθίοντο τὰς ὑσίας. ὀρνίθων δὲ σκέλη ἐλέγοντο ἔχειν, ὅτι ταχέως ἀπὸ τῆς ἀποβαλλόντων τὰς ὑσίας ἐχωρίζοντο.

BIformes faciunt, cruribus aves, reliquis membris mulieres. illæ prætereuntes perdebant. Erant enim scorta, forma lepida, quæ instrumentis musicis, & vocis suavitate egregia, res accedentium abliguriebant. Avium crura possidere dicebantur, quòd statim ab iis, quos ipsæ rebus denudaverant, secederent.

ΠΕΡΙ ΧΙΜΑΙΡΑΣ ιέ.

DE CHIMÆRA 15.

ΤΑύτὼ Ὅμηρος εἰκονογραφῶν φησὶ, * Πρόσθε λέων, ὄπιθε δὲ δράκων, μέση δὲ Χίμαιρα. γένοιτο δ' ἂν τὸ ἀληθὲς τοιῶτον. γυνὴ ἦν τόπων κρατοῦσα, δύο πρὸς ὑπεροχὴν ἀδελφοὺς εἶχεν, ὀνόματι Λέοντα, καὶ Δράκοντα. ταῦτα ὁμοῦ καὶ ξένους, καὶ ξενοκτόνει. ἀνῃρέθη δὲ ὑπὸ Βελλεροφόντου.

* Iliad. ζ. v. 181.

EJus imaginem sic expressit Homerus, *Ora Leonis erant, venter Capra, cauda Draconis.* Res tamen ità esse potuit. Mulier, regionis domina, fratres sibi Leonem, & Draconem dominationis socios adsciverat, quæ cum fœdera violaret, & peregrinos mactaret, à Bellerophonte trucidata est.

ΠΕΡΙ ΚΙΡΚΗΣ ιϛ'.

DE CIRCE 16.

ΤΑύτὼ ὁ μῦθος παρέδωκε ποτὲ μεταμορφοῦσαν ἀνθρώπους. ἦν δὲ ἑταίρα. καὶ καταθελγοῦσα τοὺς ξένους, τὸ πρῶτον ἀρεσκείᾳ παντοδαπῇ ἐπειρᾶτο πρὸς ἔννοιαν. ἁλισκομένους δὲ ἐν τοιαύτῃ κατεῖχε τῶν ἐπιθυμίας ἀλογίστως φερομένους πρὸς τὰς ἡδονάς. ἔπεσε δὲ καὶ τῷδε Ὀδυσσεῖ.

APud Poëtarum fabulas legitur, illam potu homines transformasse. Erat porrò meretrix, & advenas demulcens, primùm officiis omnibus in se, suíque amorem convertebat: deinde eos amore implicitos apud se, in affectus, & libidines sine ulla ratione effusos, continebat. Eam quoque Ulysses profligavit.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΠΥΡΙΠΝΟΩΝ ΤΑΥΡΩΝ ιζ'.

DE FLAMMIVOMIS TAURIS 17.

Τίς ἂν ἀνθρώποις θνητὴν φύσιν πῦρ πνέειν ἐξ αὐτῆς, ὃ πάντων ὠκὺν ἀναιρετικόν. ἄγριοι καὶ τραχεῖς ὄντες, πρὸς τὴν ἀναίρεσιν τῶν ὁραθέντων ὀξεῖς ἦσαν. τὸ ἓν ἐν τάχει πρὸς αὐτὸς ἀναιρετικὸν εἰκάζει πνεί.

Quis mortalem naturam, flammas, quæ nulli parcunt, vomere existimabit? Immites illi atque asperi, in objectorum necem veloces erant. Velocitas itaque eorum in perdendo, flammis assimilatur.

ΠΕΡΙ ΥΔΡΑΣ ιη'.

DE HYDRA 18.

Πολυκέφαλον ἱστορεῖται θηρίον, οὐχ ὅπως ἔχοντος τ' ἀληθὲς. εἰκὸς δὲ νεοσσὸς αὐτὴν ἐκπλέναι πολλὸς, οἱ συνόντες αὐτῇ, καὶ τεχόσῃ βοηθοῦντες, τὸς προσιόντας ἀπώλλυον μετ' αὐτῆς.

Fera multorum capitum traditur, cùm res aliter se habeat. Par est, eam multam habuisse sobolem, quæ illi convivens, atque decertans unà cum ea, incautè obrepentes perdebat.

ΠΕΡΙ'

ΠΕΡΙ ΤΩΝ ΣΠΑΡΤΩΝ ιθ'.

DE SPARTIS 19.

Τίς πιστεύσαι δύναται, ὅτι τοὺς Κάδμου σπείραντος τοὺς δράκοντος ὀδόντας ἔφυσαν ἔνοπλοι ἄνθρωποι. κρατήσας γὰρ τῆς τόπων ὁ Κάδμος, καὶ τὸ θηρίον ἀνελὼν, δι' ὃ συνέβαινεν ἔρημον εἶναι τὸν τόπον, τοὺς ἀφράδως οἰκοῦντας εἰς ἓν συνήγαγεν. οἱ ὄντες ἔνοπλοι καὶ θηριώδεις διεμάχθησαν ἀλλήλους, καὶ πλὴν ὀλίγων πάντες ἀπώλοντο.

Quis crederet Draconis dentes à Cadmo disseminatos, armatos homines erupisse? Equidem Cadmus locorum potitus, necatáque bellua, quæ loca illa deserta ac inculta effecerat, palantes, vagantésque homines in unam sedem congregavit: illi armati & ferinis moribus, statim in contentionem versi, paucis exceptis omnes mutua internecione deleti sunt.

ΠΕΡΙ ΤΩΝ ΧΡΥΣΩΝ ΜΗΛΩΝ κ'.

DE AUREIS MALIS 20.

Δράκοντα φασὶ τὰ τῆς Ἑσπερίδων χρυσᾶ Μῆλα φυλάττειν. ἀνὴρ ὃ ἐγένετο Δράκων, ὃς ἐκ τῆς ὀπωρελείας τῶν δένδρων, πολλὰ ἐσώρευσε χρυσόν. τοῦτον διαφερθεῖς ἐθήρευσαν γυναῖκες, καὶ ταῖς ἐρωτικαῖς ἐπιθυμίαις ἐνέπασαν τὴν

Draconem scribunt aurea Hesperidum mala custodire. Fuit Homo, Draco nomine, qui arborum cultu, multum sibi aurum congesserat: illum Mulieres egregia forma ceperunt, & amatoriis devictum illecebris,

ψυχὴν

ψυχὴν ἀυτῦ, πρὸς τὸ λοιπὸν in posterum servum ; hortique
ὑπηρέτην ἔχον, καὶ φύλακα τοῦ custodem possederunt.
κήπου.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΙΔΟΥ κβ'.

De iis, quæ apud Inferos sunt 21.

* ΛΕγεται ὡς Ἡρακλῆς καταλθὼν, ἀνῆλθεν ἀναγαγὼν τὸν Κέρβερον, καὶ Ὀρφεὺς ὡσαύτως Εὐρυδίκην τὴν γυναῖκα. τὸ δ' ἀληθὲς, ὅτι ὁ πενίᾳ τις ἐκ μακρᾶς ἀποδημίας, καὶ κινδύνου διατλήσας ἐσώθη, ἔφασκον ἐξ Ἅιδου αὐτὸν διασεσῶσθαι. ὅθεν ἐπὶ καὶ νῦν τὰς μακρὰς πόνους, καὶ παραβόλους ὁδοὺς, καὶ ὀπισφαλεῖς νόσους φεύγοντας, φάσκομεν ἐξ Ἅιδου σεσῶσθαι.

NArrant, Herculem eò descendisse, ascendisséque, educto Cerbero: ut similiter Orpheum, reducta Eurydice uxore. Verum tamen illud est, cum, cùm è longinquo, ac periculoso itinere, cui, multa perpessus, sufficerat, rediisset, ab Inferis remeare, homines dixisse. Hinc ad hæc tempora eos, qui, & labores immensos, atque inexspectata itinera, & maximè periculosos morbos evaserint, ab Inferis evocatos dicimus.

ΠΕΡΙ

ΠΕΡΙ ΦΑΕΘΟΝΤΟΣ κβ'.

DE PHAETHONTE 22.

Οὗτος Ἡλίου υἱὸς, ἐπεθύμησεν εἰς τὸ τοῦ πατρὸς ἅρμα ἀναβὰς διφρεῦσαι, ἀπείρως ἢ τοῦτο ποιοῦντος, καὶ τὴν ἀνθρώπων ἀπολλυμένων ὑπὸ τοῦ καύματος, ὁ Ζεὺς αὐτὸν ἐκεραύνωσεν.

HIc ſolis filius patrio curru vectus, illum moderari concupivit. Id cùm imperitè ageret, hominéſque æſtu in perniciem ruerent, à Jove fulmine ictus interiit.

ΠΕΡΙ ὈΡΦΕΩΣ κγ'.

DE ORPHEO 23.

Οὗτος κινεῖν λέγεται καὶ πέτρας, καὶ δένδρα, καὶ θήρας, οἰωνούς τε. εἴποι δ' ἄντις ἀληθῶς, ὅτι θηριώδεις ὄντας τοὺς ἀνθρώπους, καὶ ἄτε ἔθη, ἄτε νόμους εἰδότας, εἰς δεισιδαιμονίαν ἀγαγὼν, καὶ ἐπὶ τὸ εὐσεβεῖν ἀπαγαλέους, πετρώδεις ὄντας, καὶ θηριώδεις διὰ τῶν λόγων κηλήσας, ταύτης τῆς ἐπίνοιας ἔτυχεν.

DIcitur & ſaxa agere, & arbores, & feras mulcere, & alites. Verè tamen dixeris, eum homines moribus efferatos, morum, ac legum penitus ignaros, ad ſuperſtitionem deducentem, & ad pietatem moventem, ſaxeóſque illos, ac belluinos oratione pellicientem, huic fabellæ locum dediſſe.

ΠΕΡΙ

ΠΕΡΙ ΕΛΛΗΣ ΚΑΙ ΦΡΙΞΟΥ κδ'.

DE HELLE, ET PHRYXO 24.

Ἡ Νίκα τῷ Ἰῦς ἐπιβουλῷ μητρυιᾶς ὄσης ἔφυγον Ἕλλη καὶ Φρίξος, ὁ παιδαγωγὸς, ᾧ ἦν Κριὸς ὄνομα, ἐπὶ πλοιαρίῳ μικρῷ χειμῶνος ὄντος ἔφυγεν, ἔχων αὐτὸς, καὶ συμβαίνει τῷ μὲν Ἕλλῳ ἐκπεσεῖν εἰς τὴν θάλασσαν, ὅθεν ἐκλήθη Ἑλλήσποντος, τὸν δὲ Φρίξον σωθέντος ὑπερθυμικῶς ἔχειν τὸν Αἰήτην. τὸν δὲ Κριὸν διακωλύοντα, καὶ πειρώμενον ἀφθορον διατηρῆσαι τὸν Φρίξον, ἀποδαρθῆναι, καὶ τὸ δέρμα αὐτοῦ περιπαπαλαθῆναι. χρυσοῦν δὲ περιφορεθῆναι διὰ τὸ πίστατον γεγονῆναι.

DUm Iüs novercæ insidias propulsarent Helle, & Phryxus, Pædagogus, nomine Crios, id est Aries, eos cum navicula sæviente hyeme convehens, in fugam se vertit. Accidítque, Hellem sua in Pontum ruina Hellesponto nomen dedisse: Phryxi incolumis amore Æetem cieri; cúmque obstaret Crius, & incorruptum puerum servare conaretur, pelle exutum fuisse, quam ille cruci affixit. Nominatum verò aureum, quòd maximè omnium fidem servarit.

ΠΕΡΙ ΠΑΝΩΝ ΚΑΙ ΣΑΤΥΡΩΝ κέ.

DE PANIBUS, ET SATYRIS 25.

Ἐν ὄρεσι καταγινόμενοι, καὶ γυναικῶν ἄπειροι ὄντες, ὅταν τὶς παρεφάνη γυνὴ, κοινῶς αὐτῇ ἐχρῶντο. τεφάγων

CUM in montibus viverent, nec mulieres degustassent, statim ac mulier se in conspectum dabat, unà cum ea cubabant omnes simul. Hircorum

ὃ τείχας καὶ σκέλη ἐδόκουν ἔχειν, διὰ τὴν πρὸς τὰ λουτρὰ ἀμέλειαν, καὶ τὴν πρὸς ταῦτα δυσωσμίαν, καὶ διὰ τοῦτο Διονύσου φίλοι. τὴν γὰρ ἐργασίαν τὴν ἀμπέλων ἐποίουν. καὶ νῦν ὃ ἐπὶ τοὺς εἰς πλῆθος γυναῖκας λέγομεν, ὅτι ἐπανδρώμην αὐτάς.

pilos, ac crura habere visi sunt, quòd balnea negligentes, fœterent. Ideóque Dionysii amici putabantur, quòd vites excolerent. Nunc item mulieres ex plebe, ac viles, *Panizare* dicimur.

ΠΕΡΙ ΑΣΚΛΗΠΙΟΥ κς'.

DE ÆSCULAPIO 26.

Λέγουσιν αὐτὸν κεκεραυνῶσθαι. εἴη δ' ἂν πιθανώτερον ὅτι. ἰατρικὴν νικήσας, καὶ ὑψώσας, αὐτὸς ὑπὸ πυρετοῦ φλεχθεὶς ὤλετο. ὅθεν διὰ τὴν φλεγμονὴν αὐτὸν κεκαυνῶσθαι λέγεται.

EUM fulmine ictum tradunt. Magis tamen rationi consentaneum erit; si dicamus, celebrem in medicina, medicinæ dignitate aucta, febri correptum obiisse. Quare propter illum æstum fulmine tactum dicunt.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΙΔΟΥ ΚΥΝΕΗΣ κζ'.

DE PLUTONIS GALEA 27.

ΟΤι ὁ τὴν Ἀϊδου κυνῆν, ὡς καὶ ὁ Περσεὺς πεποίηται ἀόρατος ἐγίνετο.

PLutonis galeam, si quis capiti imposuerit, quemadmodum & Perseus, invisibilis fiebat.

ἔστι δὲ κυνῆ Ἄϊδος τὸ τέλος, εἰς ὃ ἀπελθὼν ὁ τετελευτηκὼς οὐδέτερος γίνεται.

Verùm Plutonis galea terminus est, in quem cùm defunctus devenerit, non ampliùs videtur.

ΠΕΡΙ ΒΟΡΕΟΥ, ΚΑΙ ΩΡΕΙΘΥΙΑΣ κή.

DE BOREA, ET ORITHYIA 28.

Λέγεται δὲ ὅτι Βορέας Ὠρείθυιαν ἥρπασεν. ἦν δὲ βασιλεὺς τῶν τόπων ἐκείνων, ἣ δὲ αὐτὴ ὑπόληψις, καὶ μέθοδος καὶ περὶ Διὸς, καὶ Γανυμήδους. βασιλεὺς γὰρ ἁρπάζει τὸν Γανυμήδην, ἀετὸς γενόμενος, ὅτι καὶ τὸ ζῶον ἄλκιμον. Ὁ δ' αὐτὸς τρόπος, καὶ περὶ Ἠῶς, καὶ Τιθωνοῦ, καὶ Ἀγχίσου, καὶ Ἀφροδίτης.

TRaditum est, Aquilonem Orithyiam sustuliſſe, qui illi regioni præerat. Eadem animadversio, & modus de Jove, & Ganymede procedit. regnans siquidem rapit Ganymedem, in Aquilam propter fortitudinem conversus. Nec aliâ ratione, quæ de Aurora, & Tithono, Anchise, & Venere narrantur, accipienda sunt.

ΠΕΡΙ ΠΡΩΤΕΩΣ κθ'.

DE PROTEO 29.

Λέγεται ὅτι ἐγίνετο ποτὲ μὲν ὕδωρ, ποτὲ δὲ πῦρ. δηλονότι, τοῖς μὲν χρηστοῖς, ὡς ὕδωρ, τοῖς δὲ πονηροῖς κατ' ἀξίαν πωρωτικὸς, ὅθεν καὶτοῦτο τὸ φήμιον περὶ αὐτοῦ διέπωτεγεν.

NArrant, eum nunc ut aquam fluere, nunc ut ignem exardeſcere. Probis ſcilicet veluti aqua molleſcens, improbos pro dignitate caſtigabat. Unde de eo ſimilia evulgârunt.

ΠΕΡΙ

ΠΕΡΙ ΤΟΥ ΚΥΝΟΣ, ΚΑΙ ΤΗΣ ΑΛΩΠΕΚΟΣ λ.

DE CANE, ET VULPE 30.

Τῶι μὲν Κυνὶ τὸ Κεφάλου δεδόμθον ἔφη φασὶν γέρας, ὃ ἂν ἴδῃ θηρίον καταλαμβάνειν, τῇ δ' Ἀλώπεκι μηδενὸς καταλαμβάνεσθαι. διώκοντος οὖν τοῦ Κυνὸς τὴν Ἀλώπεκα, ἵνα μὴ λυθῇ τὸ πεπρωμένον, τοὺς δύο λίθους ὁ Ζεὺς ἐποίησεν. εἴη δ' ἂν τὸ τοιοῦτον πλάσμα ἢ διὰ τὴν ἀμφοτέρων πλάνην.

CAnem Cephali, inquiunt, Deorum munere, prærogativam illam habuisse, ut quam conspexisset belluam comprehenderet; Vulpem à nullo capi posse. Cùm itaque Vulpem Canis sequeretur, nè, quæ in fatis erant, violarentur, ambos Jupiter in saxa transformavit. Hoc autem fingi potuit propter utriusque, dum alter alteram sequeretur, errores.

ΠΕΡΙ ΤΩΝ ΔΙΟΜΗΔΟΥΣ ΙΠΠΩΝ λά.

DE DIOMEDIS EQUIS 31.

Φασὶ ταύτας ἀνθρωποφάγους ἔτι). ἄγειαι δ' ἦσαν νομάδες. ἐ δυναμένῳ δέ τινι αὐτὰς ὑφ' ἅρμα ζεῦξαι, ὁ Ἡρακλῆς ἔζευξεν.

EQuas homines edisse tradunt. dum inter armenta pascerentur, erant feroces, & cùm nemo posset eas jugo subdere, Hercules subdidit.

ΠΕΡΙ ΚΑΛΥΨΟΥΣ, ΚΑΙ ΟΔΥΣΣΕΩΣ λϛ'.

DE CALYPSO, ET ULYSSE 32.

Ἄλογον ἀνηκὸν ὄντα Ὀδυσσέα, αὐτῷ ἐπαγγέλλεσθαι ποιῆσειν ἀθάνατον. ἀλλὰ τὸ, τὰ πρὸς τροφὴν, καὶ πρὸς βίου ἀπόλαυσιν ἄφθονα καὶ λαμπρὰ ἔχειν. ὅθεν καὶ ἡμεῖς, ὁπόταν τις καλῇ δῶμα, καὶ λαμπρῶς ἐυωχώμεθα, ἐν Θεοῖς φαμὲν γεγονέναι.

A Ratione alienum est, eam profiteri, Ulyssem morti obnoxium immortalitate donare. Sed quæ victui, vitæque necessaria videbantur, lauta, amplá-que promisit: & nos, cùm quis nos invitavit, accepítque splendidè, atque hilari opsonio, inter Deos fuisse dicimur.

ΠΕΡΙ ΚΕΡΒΕΡΟΥ λγ'.

DE CERBERO 33.

Τοῦτο ἂν εἴη, ὃ καὶ ἐπὶ τῆς Ὑδρας. ἓν γὰρ εἶχε δύο σκύμνους, οὓς ἀεὶ συμβαδίζοντων τῷ πατρὶ, ἐφαίνετο εἶναι τρικέφαλος.

NOn aliud erit, quàm quod de Hydra diximus. Hic siquidem duos Catulos habens, à quibus nunquam, cùm opus exposceret, destituebatur, triceps esse videbatur.

ΠΕΡΙ ΛΑΜΙΑΣ λδ'.

DE LAMIA 34.

Ἱστοροῦσιν, ὅτι Διὸς αὐτῇ συμμιγέντος, Ἥρα ἀπειλήσειεν αὐτῷ. καὶ ὅτι ἡνίκα ἂν μανῇ, τοὺς ὀφθαλμοὺς ἐξαίρειν, καὶ εἰς κοτύλῃ βάλλειν, καὶ ὅτι σαρκοφαγεῖ, καὶ ἀνθρώπους ἐσθίει. εἴη δ' ἂν τάδε. καλῇ αὐτῇ οὔσῃ ὁ Ζεὺς ἐπλησίασεν βασιλεύων, Ἥρα δὲ συναρπάζασα αὐτῇ, τοὺς ὀφθαλμοὺς ἐξώρυξε, καὶ εἰς τὸ ὄρη ἐρρίψεν. ὅθεν ἐπιπόνως ἔζη, ὅτι κεκρυμμένη ἐδίν, ὑπὸ τῶν ἑρημίας καταμυομένη αὐτὴ, καὶ διὰ τὸ ἄλυτος, καὶ ἀθεράπευτος ἦν), ἐδόκει θηρίον ὑπάρχειν.

NArrant priùs compreſſam à Jove, poſtea à Junone in belluam converſam. &, cùm furor invadit, eam ſibi oculos eruere, & in vaſe deponere, carnes præterea, hominéſque vorare. Sed res ità fuerit. Jupiter cum ea, quando forma erat egregia, rerum dominus congreſſus eſt, Juno illius comprehenſæ oculos effodit, relegavítque in ſolitudinem. Ubi omni ope deſtituta, & ſummo cum diſcrimine ſibi victum comparans, cùm illota, ac neglecta ſordeſceret, fera exiſtimabatur.

ΠΕΡΙ ΠΡΟΚΝΗΣ, ΚΑΙ ΦΙΛΟΜΗΛΗΣ λέ.

DE PROGNE, ET PHILOMELA 35.

Ἱστοροῦνται ὄρνιθες γενέσθαι, ἡ μὲν Χελιδὼν, ἡ δὲ Ἀηδὼν, ἡ δὲ Ἐποψ. τοῦτο δ' ἂν ἔχοι πῶς. ἀποκτείνασα τὸν Ἴτυν,

TRadunt in aves verſas avolâſſe, hanc quidem Hirundinem, illam Luſciniã, tertium in Epopa. res tamen ità fieri potuit. Mactato Ity,

καὶ πορθήσασαι τὸν οἶκον, εἰς τὸ πλοιάριον ἐμβᾶσαι, ταχείαν τὴν φυγὴν ἐποιήσαντο. ὁ δὲ Τηρεὺς ἐπεὶ διώξας, ἃ κατέλαβεν αὐτὰς, αὐτὸν ἀναιρεῖ. ὅθεν οἱ ἄνθρωποι, ἃ φανομένων αὐτῶν, διὰ τὸ ἐξαίφνης ἀφανεῖς γενέσθαι, εἶπον, ὅτι ἀπωρνιθώθησαν.

& domo direpta, naviculam ingressæ, velociter fugam arripuere. Tereus licèt insequeretur, cùm nullas comprehendisset, sibi necem conscivit. Hinc homines, cùm illæ nusquam essent, quòd ex improviso invisibiles factæ sint, in aves trãsformatas fuisse dixerũnt

---

ΠΕΡΙ ΤΩΝ ΗΛΙΑΔΩΝ λϛ'.

DE HELIADIBUS 36.

Ταύτας φασὶν ἐξ ἀνθρώπων αἰγείρους γενέσθαι. ὃ τοῦτο οὐ, ἀλλὰ διὰ τὸ πάθος τοῦ ἀδελφοῦ εἰς τὸν Ἠριδανὸν αὐτὰς ἔβαλον. διὸ οἱ ζητοῦντες, ἐπὶ τὸν ποταμὸν προσγενόμενοι, καὶ τὰς μὲν ἐκ δεόντες, τεία ὑπὸ τελέχη αἰγείρων, ὑπέλαβον αὐτὰς ἀποδενδρωθῆναι. ὀνόματα δὲ αὐταῖς, Φόβη, Λαμπετὼ, Αἴγλη.

FErunt, has ex mulieribus populos factas; quod falsum est. Sed illæ se in Eridanum propter infortunium Fratris conjecere. Quare qui eas perquirerent, cùm ad fluvium accessissent, illis non compertis, sed tribus populorum stipitibus, sulpicati sunt eas in arbores versas fuisse. Eorum nomina fuere, Phobe, Lampeto, Ægle.

ΠΕΡΙ

ΠΕΡΙ ΠΑΝΟΠΤΟΥ λζ.

DE PANOPTE 37.

Τοῦτον πάντα βουλόμενον ἀ-
κούειν, καὶ ὁρᾶν, ἐν παντὶ
τῷ σώματι ὀφθαλμοὺς ἔχειν ἐ-
πλάσαντο. ὅθεν ἔτι καὶ νῦν τοὺς
τοιούτους Πανόπτας καλοῦμεν.

CUm omnia oculis, auribúſque uſurpare vellet, eum oculos per totum corpus habere finxerunt. Hinc hodiéque ſimilium hominum genus Panoptas dicimus.

ΠΕΡΙ ΕΝΔΥΜΙΩΝΟΣ ΚΑΙ ΣΕΛΗΝΗΣ λή.

DE ENDYMIONE, ET LUNA 38.

Λέγεται, ὅτι καθεύδοντος αὐτοῦ, Σελήνη ἐραθεῖσα, καταβᾶσα ἐμίγη αὐτῷ. εἴη δ' ἂν, ὁ μὲν Ἐνδυμίων ποιμὴν ἄπειρος γυναικὸς, ὅτι δυμπτικῶς ὑπὸ τινὸς αὐτοῦ, ἐρωτηθεῖσα παρά τινος τίς εἴη, ἔφη, Σελήνη.

DIcunt, illius dormientis amore Lunam correptam, Cœlóque delapſam, cum eo cubâſſe. Potuit verò eſſe Endymion paſtor, ignarus mulierum, & rudis, quem cùm mulier deperiſſet, à neſcio quo interrogata, quæ illa eſſet, reſpondit, Luna.

ΠΕΡΙ ΤΩΝ ΗΛΙΟΥ ΒΟΩΝ λθ'.

DE SOLIS BOBUS 39.

Περὶ τύπων ὅτως ἔυρον ἀλληγορημένον ἐν † Ἰλιάδι. ἐκ ἐξῆν τοῖς ἀρχαίοις ἱερεύειν βῦς ἐργάτας. καὶ τοῦτο φησὶ καὶ Ἄρατος, δῆλον ὃ καὶ ἐξ αὐτῆς τῆς ποιήσεως, φησὶ γὰρ Ἑκάβη πρὸς Ἀθηνᾶν. Σοί δ' ἂν ἐγὼ βοῦν ῥέξω ἥνιν, ἐυρυμέτωπον, Ἀδμήτην, ἣν ὅπω ἔτλη ζυγὸν ἄγαγεν ἀνήρ.

Οὐ μόνον ὃ ἀλλὰ καὶ Ἡλίου βόας τούτους ἐκάλουν, ὡς τῶν γῆν ἐργαζομένους, καὶ ἡμᾶς φέροντας. οἱ ὃ τοῦ Ὀδυσσέως ἑταῖροι, ὐχ Ἡλίου βοῦς, ἀλλὰ τοὺς ἐργάτας δοιηθέντες, ¶ Σφίσιν ἀταθαλίησιν ἔπαθον μοῖρον ἄλγε' ἐπέασον.

DE hisce hanc allegoriam in Iliade legi: Antiquis interdictum erat, boves operarios sacrificare; quod & Aratus asserit: compertúmque est ex ipsa Poësi, namque ait, ad Palladem Hecuba; * *Robustum tibi Diva bovem, cui cornua latam Obtendant frontem, quem nec juga tracta domârint, Sacrificans voti solvam reus.*

Præterea solis boves eosdem vocabant, tanquam qui & terram scinderent, & nobis alimenta præstarent. At Ulyssis socii, non Solis, sed operarios boves cùm devorâssent, *Ob propria scelera, supra quàm par erat, dolores subiere.*

† Odyss. M.
* Iliad. κ'. v. 292. *Diomedes, non Hecubæ.*
¶ Odyss. α'. v. 34.

ΑΝΩ-

΄Α Ν Ω Ν Υ΄ Μ Ο Υ
Π Ε Ρ Ι΄ ΄Α Π Ι΄ Σ Τ Ω Ν

ANONYMI
Longè HERACLITO recentioris.
De Incredibilibus.

Leone Allatio Interprete.

ΠΕΡΙ΄ ΤΩ῎Ν ΄ΑΡΧΑΙΟΤΑ΄ΤΩΝ ΄ΑΝΘΡΩΠΩΝ ά.

DE PRIMIS HOMINIBUS I.

΄Ιστέον ὅτι ἀρχαιοτάτους ἀνθρώπων, οἱ μὲν Αἰγυπτίους, οἱ δὲ Φρύγας φασίν. ῾Ελλήνων δὲ ἀρχαιοτάτους ΄Αθηναίους, καὶ τοὺς πρὶν Πελασγοὺς, νυνὶ δὲ ΄Αρκάδας. ἐν δὲ πόλεσι τήν τε ΄Αθηναίων ἀκρόπολιν ὑπὸ Κέκροπος τοῦ αὐτόχθονος ἱδρυθεῖσαν τοῦ δικρύους, καὶ δευτέραν τὴν ὑπὸ Φορωνέως τοῦ ΄Ινάχου ἱδρυθεῖσαν. τρίτην δὲ ΄Ηνῶνος ἐν Θεσσαλίᾳ ὑπὸ Δευκαλίωνος τοῦ Προμηθέως.

SCiendum est, antiquissimos, homines ab aliis Ægyptios censeri, ab aliis Phrygas. Græcorum verò vetustissimos Athenienses, & quos nunc Arcadas, priùs Pelasgos vocitabant. Inter Urbes Athenienssium Arcem à Cecrope indigena, ac biformi conditam; secundam à Phoroneo Inachi F. exstructam; Tertiam Itonis in Thessalia à Deucalione Promethei F.

ΤΑ῎

ΤΑ' ΕΠΤΑ' ΘΕΑ'ΜΑΤΑ β'.

SEPTEM MIRACULA 2.

ε'. Ὁ Ἐν Ὀλυμπίᾳ Ζεὺς, πήχεων λς'. β'. Ὁ τῆς Ἐφεσίων Ἀρτέμιδος ναός. γ'. Ὁ ἐν Δήλῳ κεράτιον Βωμὸς, ὃς λέγεται χρηέως ἐκ θυμάτων τῇ Θεῷ μιᾶς ἡμέρας δεξιῶν κεράτων. δ'. Τὸ Μαυσώλιον τὸ ἐν Ἁλικαρνασσῷ. ε. Αἱ ἐν Αἰγύπτῳ Πυραμίδες, ὧν ἡ μείζων πήχεις ἔχει τετρακοσίας. ς'. Τὰ Βαβυλώνια τείχη. ζ'. Ὁ ἐν Ῥόδῳ Κολοσσὸς πήχεων ὁ, ὃν ἐποίησε Χάρης ὁ Λίνδιος. τινὲς δὲ τάττουσι καὶ τὸν ἐν Ἐπιδαύρῳ Ἀσκληπιὸν, καὶ τὸν ἐν Παρίῳ Βωμὸν, καὶ τοὺς Κρεμαστοὺς κήπους, καὶ τὴν ἐλεφάντινον Ἀθηνᾶν ἐν Ἀθήναις, καὶ τὰ Κύρου βασίλεια.

1. APud Olympiam Jupiter cubitorum triginta sex. 2. Ephesiæ Dianæ templum. 3. Apud Delum Ara ex dextris cornibus, quam erectam tradunt, ex sacrificiis Deo uno die oblatis. 4. Mausoleum Halicarnassi. 5. Ægyptiæ Pyramides, quarum major cubitorum est quadringentorum. 6. Babylonis muri. 7. Apud Rhodios Colossus cubitorum septuaginta, quem Chares Lindius erexerat. Alii inter ea numerant, Æsculapium apud Epidaurum, Aram apud Parios, Hortos pensiles, stantem Minervam Athenis, & Cyri regiam.

ΠΕΡΙ ΤΟΥ ΧΡΥΣΟΥ ΔΕΡΩΣ γ'.

DE VELLERE AUREO 3.

* Ὅτι τὸ ἐν Κόλχοις φυλασσόμενον, οὐκ ἦν δέρας ἀληθῶς χρυσοῦν. τοῦτο γὰρ ποιητικὸν ὑπόμνημά ἐστιν, ἀλλὰ βιβλίον ἐν δέρμασι γεγραμμένον, ὃ εἶχον, ὅπως δεῖ γίνεσθαι διὰ χημείας

QUod apud Colchos asservabatur, revera non erat vellus aureum; hoc enim Poëtarum ludicrum est; sed liber, in pellibus inscriptum continens, quâ ratione per Chemiæ artē aurum conficiendum esset.

χρυσόν.

χρυσόν. εἰκότως ἂν οἱ τό τε χρυσᾶν ὠνόμαζον αὐτὸ διά τιὼ ἐξαυτᾶ ἐνέργειαν.

Non immeritò ergo ab illis Aureum, propter similem operationem dicebatur.

ΠΕΡΙ ΙΛΙΟΥ ϛ'.

DE ILIO 4.

Ὅτι τὸν Ἀπόλλωνα, καὶ τὸν Ποσειδῶνα λέγουσι τειχίσαι τιὼ Ἴλιον. τὸ δ' ἐκ ἔστως ἔχει. ἀλλ' ὁ Λαομέδων ἐτείχισε τιὼ πόλιν, ἐκ ὁσίως. ἦν δ' ἐν τῇ Ἀκροπόλει ἱερὸν Ἀπόλλωνος, καὶ Ποσειδῶνος διαφερόντως τιμώμενον, ὅθεν συλῶν ἀνήλισκε τὰ χρήματα εἰς τιὼ τῶν τείχες κατασκευήν.

APollinem, ac Neptunum tradunt Ilium mœnibus cinxisse. Res autem non ità se habuit; sed Laomedon urbem præter jus muris circumdedit: nam in Arce templum Apollinis, ac Neptuni miro cultu invilebatur: unde is pecuniam suffuratus, in murorum exstructionem absumpsit.

ΠΕΡΙ ΑΧΕΛΩΟΥ ε'.

DE ACHELOO 5.

Ὅτι φασὶ τὸν Ἡρακλῆ μονομαχῆσαι τῷ Ἀχελώῳ. Ἔχει δ' ὅτω. Ῥέων ὁ Ἀχελῶος μεταξὺ Θεσπρωτῶν, καὶ Κουρήτων πολλὰ τῆς χώρας ἀπετέμνετο, ποτὲ μὲν τούτοις, ποτὲ δ' ἐκείνοις προσιθεὶς, ἐφ' ᾧ

NArrant Herculem singulare certamen cum Acheloo iniisse. Res porrò ità se habet. Achelous fluvius inter Thesprotos, & Curetas fluens, & potissimam regionis partẽ secans, modò his, modò illis possessionem adaugebat; ideóque

καὶ

καὶ νεῖκος ἦν ἑκατέροις κρατερόν. Ἡρακλῆς ἔν ἐλθὼν ὁπλίτης Αἰτωλοῖς, ἑτέρους τῶν Κυρήτων ἐχθρώσετο, καὶ τὸν ποταμὸν καταπλείσας εἰς ἓν ῥεῖθρον, καὶ μίαν ἐμβολὴν ἐκρατώσατο τοῖς Αἰτωλοῖς τὴν χώραν, καὶ τὴν Οἰνέως Δηϊάνειραν ἔλαβεν.

inter eos teterrimo dissidio conflictabatur. Hercules itaque cùm opem tulisset Ætolis, Curetas debellavit, fluviisque aquas uno alveo includens Ætolorum ditionem firmavit, & Oenei filiam Deianiran sibi matrimonio junxit.

ΠΕΡΙ ΚΕΡΒΕΡΟΥ ς'.

DE CERBERO 6.

Ὅτι Κέρβερος ὁ Ἀϊδωνέως ἦν βασιλεὺς Θεσπρωτῶν, ὃν νυκτὸς ὑφελόμενοι κλῶπες ὑπὸ σπήλαιον ἔκρυψαν ἀφεγγές. ὁ δὲ Ἡρακλῆς τοῦτον ἀνελόμενος Εὐρυσθεῖ ἔδωκεν.

CErberus Aidonei F. Thesprotorum rex erat; eum clam subreptum prædones in speluncam obscuram abdiderunt: & Hercules indè extractum Eurystheo dedit.

ΠΕΡΙ ΠΑΣΙΦΑΗΣ ζ'.

DE PASIPHAE 7.

Πασιφάη ἐρῶσα νεανίσκου ἐπιχωρίου ξυλλήπτορα ποιεῖται τὸν Δαίδαλον, καὶ ὑπουργὸν ποιεῖται τῷ ἔρωτι, καὶ εἰωθυῖα καὶ πεῖν, ὅτέ τι ἐργάζοιτο, ὁπισκοπεῖν, εἴδωλον βοὸς τεκταίνοντος θειοτάλλης, καὶ εἰς τὰ

PAsiphaë adolescentem indigenam efflictim amans, Dædali opem, ac ministerium in amore implorat; & quæ pro more, quandocunq; is aliquid operabatur, aderat inspectura, efformantis, tunc pulcherrimam Vaccæ statuam, &

μάλιστα

μάλιστα ζώσῃ ἐοικὸς, συνεπῶς εἰς τὸν Δαιδάλου οἶκον ἰοῦσα, ἡ τότε διὰ θέαν τῆς βοὸς ξωῆν τῷ ἐρωμένῳ, ὥστε ἐπαΐσθ ἐγένετο. τὰ δ' ἱστορούμενα μυθικά.

vivæ quam simillimam, ejus domum callidè visitabat; adeóque obtento Vaccæ aspectu cum amante clam consuescebat: donec postea res innotuit. Quæ verò reliqua narrantur omnia fabulosa sunt.

ΠΕΡΙ ΤΗΣ ΧΙΜΑΙΡΗΣ ή.

DE CHIMÆRA 8.

Περὶ τῆς Χιμαίρας ὅτω φησὶ Πλούταρχος ἐν τῷ Μονοβίβλῳ, τῷ περὶ ἀρετῆς Γυναικῶν. τὴν Χίμαιραν ὄρος ἀντίπλιον γεγονέναι φησὶ, καὶ ποιεῖν ἀναπλάσεις, καὶ ἀναπαύσεις ἐν τῷ θέρει χαλεπὰς, καὶ πυρώδεις, ὑφ' ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων μαραίνεσθαι τὰς καρπούς. τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα διακόψαι τῷ χρημνῷ τὸ λειότατον, καὶ μάλιστα τὸ τὰς ἀναπλάσεις ἀποξέλειν.

DE Chimæra Plutarchus libro singulari, quem de virtute Mulierum conscripsit, hæc habet: Chimæram montem esse soli adversum, refractionésque facere, & incendia æstate nimis fervida, & æstuosa, quibus per agros dispersis, effusísque fruges contabescere. Bellerophontem verò, causa mali percepta, loci præcipitis partem levissimam, & quæ maximè solis illos radios reflectebat, excidisse.

ΠΕΡΙ ΝΑΡΚΙΣΣΟΥ θ'.

DE NARCISSO 9.

Λέγεται περὶ αὐτοῦ, ὡς ἐν ὕδατι τῷ ἑαυτοῦ σκιὰν ἰδὼν, ἡ ἐρασθεὶς ἥλατο εἰς τὸ ὕδωρ, ἐφ' ᾧ τῇ αὐτοῦ σκιᾷ περιπλύξασθαι, ἡ ὕτως ἀπεπνίγη. ἐκ ἀληθὲς δ' τοῦτο. ὁ γὰρ εἰς ὕδωρ ἀπεπνίγη, ἀλλ' ἐν τῇ ῥεούσῃ τοῦ ἐνύλου σώματος φύσει τῷ ἑαυτοῦ θεασάμενος σκιὰν, ἤτοι τὴν ἐν τῷ σώματι ζωήν. ἥτις ὄντι τὸ ἔσχατον εἴδωλον τῆς ὄντως ψυχῆς, ἡ ταύτῃ ὡς οἰκείαν περιπλύξασθαι σπεύσας, τοῦτέστι τὴν κατ' αὐτὴν ζωὴν ἀγαπήσας, ἀπεπνίγη, γεγονὼς ὑποβρύχιος, ὡς φθείρας τὴν ὄντως ψυχήν. τοιοῦτον δ' εἶπεν τὸν ὄντως ἑαυτῷ προσήκοντα βίον. ὅθεν ἡ παροιμία πρὸς φάσκει, Δεδιὼς τὴν σαυτοῦ σκιάν. δεδιέναι δὲ δεδίεναι τὴν περὶ τὰ ἔσχατα ὡς πρὸς τὰ πρῶτα, ὅλεθρον ἡμῖν ἐπάγουσιν τῆς ψυχῆς, ἤτοι ἀφανισμὸν τῆς ἀληθοῦς τῶν πραγμάτων γνώσεως, ἡ τῆς προσηκούσης αὐτῇ κατ' οὐσίαν τελειότητος. ὅτως ὁ εἰς τὰς παρὰ Πλάτωνι Παροιμίας γεγράφας.

DE eo narrant, in aquas, cùm in illis imaginem suam conspexisset, amoris œstro percitum, insiliisse, ut umbram sui deoscularetur, sícque submersum obiisse. Hoc tamen falsum est: neque enim in aquam, sed in fluxam materialis corporis naturam immersus occidit, sua umbra conspecta, vita scilicet, quæ in corpore est, extremo veræ animæ idolo, eámque veluti affinem complecti nisus, hoc est vitam secundum illam deperiens, suffocatur aquis submersus, tanquam qui veram animam, vel vitæ rationem, idem enim est, sibi convenientem corruperit. Hinc adagio fertur, Timens propriam umbram, quo monemur, nostrum in erga ultima, æquè ac prima studium timere; quod animum, vel veram rerum cognitionem, & perfectionem, quæ illam secundum sui naturam addecet, excidio dat. quemadmodum exposuit, qui in Platonis Proverbia commentarium edidit.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ί.

DE ALEXANDRO 10.

Ἰστέον ὅτι Ἀλέξανδρος ὁ καὶ Πάρις, οὐκ ἔκρινε τὰς Θεὰς, ἀλλὰ σοφὸς γεγονὼς, ἐγκώμιον εἰς αὐτὰς ἐποίησεν, ὅθεν ἐδόθη μῦθος, κρίναι αὐτὸν μεταξὺ Παλλάδος, καὶ Ἥρας, καὶ Ἀφροδίτης.

SCiendum Alexandrum, qui alio nomine Paris dicebatur, non Deas judicâſſe, ſed, cùm ſapientia excelleret, laudationem in eas ſcripſiſſe. Hinc fabulæ datus locus, eum inter Palladem, Junonem, & Venerem ſententiam dixiſſe.

ΠΕΡΙ ΠΑΝΟΣ ιά.

DE PANE 11.

Φησὶ Πολύαινος ἐν τοῖς Στρατηγικοῖς, ὅτι πρῶτος ἔστος τάξιν ἔυρε, καὶ φάλαγγα ὠνόμασε, κέρας ἔταξε δεξιὸν καὶ λαιόν. ταύτῃ ἄρα Κεραστόρον πλάττουσι. καὶ πρῶτος πολεμίοις φόβον ἐνέβαλε, σοφίᾳ καὶ τέχνῃ. μὴ γὰρ μυρίαν χεῖρα πολεμίων ἐπάγεσθαι τῷ Διονύσῳ ἐκ τῶν σκοπῶν, τοῦ Διονύσου δείσαντος, αὐτὸς ὁμοῦ οὐκ ἔδεισεν, ἀλλ' ἐσήμανε νύκτωρ τῇ Διονυσιακῇ στρατιᾷ ἀλαλάξαι μέγιστον. οἱ μὲν οὖν ἐσάλπισαν, καὶ ἠλάλαξαν, ἀντήχησαν δὲ αἱ πέτραι,

POlyænus in Strategicis tradit, primum Pana ordinem inveniſſe, & phalangem nominaſſe, cornu lævum, dextrúmque conſtituiſſe, ideóque Cornigerum fingi. Primúmque hoſtibus ſapientia, & arte terrorem injeciſſe. Cùm enim Baccho nunciaſſent ſpeculatores, innumeras hoſtium copias adventare, Baccho timore perculſo, Pan non abjecit animos, ſed præcepit, ut noctu Bacchicus exercitus, quàm maximum clamorem tolleret. Illi itaque tubis, clamoréque perſtrepuerunt: petræ verò,

καὶ

καὶ τὸ κοῖλον τῆς νάπης. οἱ μὲν οὖν πολέμιοι φόβῳ πληγέντες, ἔφυγον, τὸ δὲ Πανὸς τὸ στρατήγημα τιμῶντες, τῇ Ἠχοῖ τῷ Πανὶ φίλῃ ᾄδομεν, καὶ τοὺς νυκτερινοὺς φόβους Πανικοὺς καλοῦμεν.

saltuúmque cavitas resonarunt. Hinc hostes metu concussi, fugam arripuere. Stratagema porrò Panis celebrantes, Echo Pani gratam, amicámque concinimus, & nocturnos exercituum terrores, Panicos appellamus.

ΠΕΡΙ ἘΝΔΥΜΙΩΝΟΣ ιϛ'.

DE ENDYMIONE 12.

Ὅτι πρῶτος Ἐνδυμίων τῇ περὶ τὰς ἀστέρας ἐσχόλασε θεωρίᾳ, ὡς ἀγρυπνεῖν τὴν πᾶσαν νύκτα, καὶ τὰς ἡμέρας ἐπὶ πλεῖον καθεύδειν. διὸ καὶ ἐρώμενος ἡ) λέγεται τῆς Σελήνης, ὡς ὑπάρχων αὐτῇ. τέτε ἕνεκα καὶ φιλεῖται. ὕτω Πλάτων.

PRimum omnium Endymion siderum speculationi operam dedit, adeò, ut noctu invigilaret, interdiu ut plurimùm dormiret: ideóque Luna amore eum prosequi dicebatur, tanquam qui illi ob id studium gratus esset. Sic Plato.

ΠΕΡΙ ΦΑΕΘΟΝΤΟΣ ιγ'.

DE PHAETHONTE 13.

Λέγεται ὴ καὶ περὶ Φαέθοντος, ὡς Ἡλίου ἦν υἱός. ἔχει ὴ ὕτως. ὁ Φαέθων τὸν τοῦ Ἡλίου δρόμον ἐτεκμήρατο, ὡς τὸν τῆς Σελήνης Ἐνδυμίων,

DIcunt eum filium Solis fuisse. sed res ità se habet, Phaëthon Solis cursus, quemadmodum Lunæ Endymion,

ἐμοὶ τοι ἀπειπέως, ἀλλὰ ἀτελῶς τὸν λόγον ἀπολιπὼν ἀπέθανεν. Καὶ ὁ Βελλεροφόντης πτηνὸς, καὶ ὡς ὁ μῦθός, οὐκ ἐγένετο, ἀλλὰ τῷ ἀστρονομίαν μετιὼν, καὶ φρενῶν, καὶ ἀστρων ὁμιλῶν εἰς οὐρανὸν, οὐ τῷ ἵππῳ, ἀλλὰ τῇ διανοίᾳ ἀνέβη.

obſervabat, ſed re infectâ fato functus eſt. Et Bellerophon, non volavit, ut in fabulis eſt, ſed cùm Aſtronomiæ operam navaret, magníſque cogitationibus inflaretur, & ſideribus conſueſceret, in Cœlum non equo, ſed cogitatione conſcendit.

ΠΕΡΙ ΙΚΑΡΟΥ ιδ'.

DE ICARO 14.

Καὶ ὁ Ἴκαρος νεότητι, καὶ ἀπαιδευσίᾳ χρώμενος, οὐκ ἐπιεικτὰ ζητῶν, ἀλλὰ πολὺ ἀρθεὶς τῷ νῷ, ἐξέπεσε τῆς ἀληθείας, καὶ παντὸς ἀπεσφάλη τοῦ λόγου, καὶ εἰς πέλαγος κατωνέχθη ἀβύσσων πραγμάτων, ὃν Ἕλληνες ἄλλως μυθολογοῦσι, καὶ κόλπον ἀπ' αὐτοῦ Ἰκάριον πλάτανον.

ICarus juventute, ac ſcelere fretus, non toleranda perquirens, ſed cogitationibus mirum in modum ſuperbiens à veritate aberravit; nec non à ratione deflectens, in Pelagus præceps corruit, quem Græci rerum abyſſum indigetant, ab eóque ſinui Icarii nomen donant.

ΠΕΡΙ ΙΟΥΣ, ΚΑΙ ΑΡΓΟΥ ιέ.

DE IO, ET ARGO 15.

Ἰὼ ἡ Ἀρέστορος ἠράσθη τῆ Ἥρᾳ. πρὶν γάμου ἢ κωήσασαν γνοὺς ὁ πατὴρ, ἐ γὰρ ἔπ αὐτῆ ἡ ὄψις παρθένιος ἦν, ἀλλ' ὑπὸ τῆς ἀφροδισίου ἀκμῆς μείζων, καὶ καλλίων αὐτῆς ἐφαίνετο, ὡς καὶ βοῦς ὑπὸ τῶν Ἀργείων ἐπονομάζεσθαι, ἐχαλέπαινέ τε, καὶ ἐν φρουρᾷ εἶχεν αὐτὴν, φυλάξαι διατάσσας αὐτῇ τὸν τῆς μητρὸς ἀδελφὸν Ἄργον. καὶ ὁ μὲν Ἄργος ἀϋπνος ὢν, καὶ πάντη ἄφυκτος, ἐδαμῶς αὐτὴν ἀνίει. ὅθεν καὶ Παναόπτης ἔκλη διάκλην. τῶν ὁ ἐπιχωρίων Ἑρμάων, βουκολούσης Ἰοῦς, λαθὼν κτείνει τὸν Ἄργον. ἡ δὲ Ἰὼ ἐλαυνομένη, φεύγει σὺν τοῖς βουσίν, ἐπελθοῦσα νεὼς φορτίδος, ὑπὸ δὲ χειμῶνος φορηθεῖσα ἀνὰ τὸ πέλαγος, ὃ καλεῖται Ἰόνιον, καὶ πολλαχοῦ περιπλανηθεῖσα, εἰς Ἀσείαν ἀκομίσθη, καὶ Θεὸς ἐνομίσθη διὰ τὸ κάλλος. Οὕτω Χάραξ ἐν Ἑλληνικοῖς.

IO Areſtoris filia Junoni odio erat. Cùm verò, antequam nuptui daretur, eam concepiſſe pater comperiſſet: neque enim ultrà aſpectus virginis erat, ſed, venerea libidine, major, ac pulchrior, ut ab Argivis bos diceretur, ægrè ferens, eam in cuſtodia detinebat, Argo matris fratre illi cuſtode conſtituto. Argus, cùm nuſquam ſomno cederet, nec poſſet eludi, ſemper mulieri aderat: hinc Panoptes dictus eſt. Sed Mercurius unus ex indigenis, ità Io annuente, clam Argum occidit. Liberata, unà cum iis, qui opem tulere, onerariam navim aſcendens, in fugam ſe vertit. Sed tempeſtate in Ionium mare delata, multa loca cùm perer-râſſet, tandem Aëriam appulit, & inter Deos ob pulchritudinem refertur. Hæc habet Charax in Hiſtoria Græcorum.

ΠΕΡΙ ΔΙΟΝΥΣΟΥ ις'.

DE BACCHO 16.

Ὁ Χάραξ ἅτω φησίν. Ὅτι Σεμέλη ἡ Κάδμου θυγάτηρ λέγεται κυῆσαι πρὸ γάμου. ἐν ᾧ τοῖς γονεῦσι κεραυνὸς καταπεμφθεὶς, αὐτὴ μὲν ἠφανίσθη, τὸ δὲ βρέφος διεσώθη. ἐκείνῳ μὲν οὖν, ὁποῖα ὅτι τοῖς διοβλήτοις λέγεται, θείας μοίρας λαχεῖν ᾠήθησαν, καὶ Θυώνῳ ὠνόμασαν. τὸν δὲ παῖδα θειότατον ὄντα, ὁ Κάδμος, διότι ἐκ πυρὸς ἐσώθη, προσεῖπε, καὶ τίθεται αὐτῷ Αἰγυπτίου Διονύσου πάτριον ὄνομα. Ἀλέξανδρος δὲ ὁ Ἀφροδισιεὺς, ἐν τοῖς Φυσικοῖς ἅτω φησίν. ὡς οὐκ ἀσκόπως μυθεύονται ἕπεσθαι Βάκχῳ τῷ Διονύσῳ διὰ τὴν ἐκ τοῦ οἴνου χρείαν, Σατύρους δὲ διὰ τὴν εὐκινησίαν, Λυδοὺς δὲ διὰ τὸ πικρὰς ἐξ αὐτοῦ ἐκκλύεσθαι, Πάρδον δὲ διὰ τὴν πολυποίκιλον φαντασίαν τῶν οἰνωμένων. διάφορον γὰρ ἕκαστον, καὶ ποικίλον ἀναδέχεται λογισμὸν, ὑπὸ τοῦ οἴνου κινούμενον. πολύσικτος δὲ καὶ ἡ δορὰ τοῦ ζώου. μίαν δὲ Βάκχῳ μανεῖσαν δρᾶσαι φόνον. πολλοὶ γὰρ μεθυσθέντες ἐφόνευσαν. σφαλερὸν δέ τινες εἶναι διὰ τοῦτο τὸν ἀπὸ τοῦ οἴνου φανέρωσιν τῶν πινόντων, τοῦ λογισμοῦ,

CHarax hæc tradit, Semelem Cadmi filiam, antequam nuberet, concepisse. dum pareret, fulmine ictam, de medio sublatam, puerum supervixisse. Illa itaque uti de similibus fama est, quasi divinæ naturæ particeps in Deorum numero habita est, & Thyone vocata Pueri diviniſſimi Cadmus, quòd ab igne sospes evaserat, curam gerebat, illíque Dionysii Ægyptii patrium nomen indidit. Alexander autem Aphrodisiensis in Physicis scribit, Non sine ratione Baccham Baccho comitem dedisse Poëtas, propter usum vini; Satyros propter agilitatem corporis; Lydos, quòd eorum nonnulli dissolvantur; Pardum propter variam, ac multiplicem vino correptorum imaginationem: varias siquidem ac diversas, quicunque vino titubat, cogitationes efformat: cauda item animalis variis maculis interstincta est. Unam item Baccham in furorem versam cædem patrâsse; multi enim vino maddidi cædes efficiunt. Lubricos nonnullos, & mobilibus plantis inconstantes, quòd cogitatio bibentium per vinum manifestetur.

ποθῆσαι ὁ Ἀφροδίτῃ, καὶ Ἀριάδνῃ, ὅτι τοῖς οἰνωθεῖσι παρέπεται πλείστη τῶν γυναικῶν ἐπιθυμία. * * ἐρημοῦν τε, καὶ βλάπτειν, καὶ μαραίνειν τὸ σῶμα, τὸν πολλοί. * * ὑπὸ πυρὸς ὁ κεραυνωθῆναι, καὶ ἐν μηρῷ βληθῆναι, ὅτι πολλάκις ὁ οἶνος, ἡλιαζόμενος τελειοῦται τῇ κράσει, καὶ δυνάμει τοῖς κεραμίοις κρυπτόμενος. τέσσαρας δὲ γυναῖκας ἔχει αὐτῷ ἀδελφὰς, διὰ τὸ τέσσαρας τροπὰς ἔχειν, καὶ μεταβολὰς τὸν οἶνον.

